# Eton College King's Scholarship Examination 2020

# GREEK

**(One and a quarter hours)**

***<u>Remember to write your candidate number on every sheet of answer paper used.</u>***

***Candidates should attempt all the questions on this paper.***

**Do not turn over until told to do so.**

Sourced from SATs-Papers.co.uk • https://www.SATs-Papers.co.uk

Sourced from SATs-Papers.co.uk • https://www.SATs-Papers.co.uk

ὁ Προμηθεὺς καὶ ὁ Ἐπιμηθεὺς οἱ τοῦ Ἰαπετοῦ υἱοὶ ἦσαν. οἱ δὲ θεοὶ ἐκέλευσαν τὸν Προμηθέα ποιεῖν ἀνθρώπους ἐκ πηλοῦ. ἔπειτα δὲ ὁ Προμηθεὺς ἐδίδαξεν αὐτοὺς πλεῖν τε καὶ κατασκευάζειν οἰκίας.

ὁ δὲ Ζεὺς οὐκ ἤθελε τοὺς ἀνθρώπους ἔχειν πῦρ. ὁ οὖν Προμηθεὺς εἰς τὸν οὐρανὸν ἦλθε καὶ αὐτὸ ἔκλεψεν.

ἔπειτα δὲ οἱ θεοὶ ἔπεμψαν τῷ Ἐπιμηθεῖ καλὴν γυναῖκά τινα, Πανδώραν ὀνόματι, θήκην μεγάλην ἔχουσαν. ὁ οὖν Ἐπιμηθεύς, πιστεύων τῇ γυναικί, ἀνέῳξε τὴν θήκην. εὐθὺς δὲ πλεῖστα κακὰ ἔφυγεν καὶ διὰ τοῦτο οἱ νῦν πόλεμον καὶ νόσον πάσχουσιν.

**Names** (only the first instance of a word is underlined)

| | |
|---|---|
| Προμηθεύς - έως, ὁ | Prometheus |
| Ἐπιμηθεύς - έως, ὁ | Epimetheus |
| Ἰαπετός - οῦ, ὁ | Iapetus |
| Πανδώρα - ας, ἡ | Pandora |

**Vocabulary** (only the first instance of a word is underlined)

| | |
|---|---|
| πηλός - οῦ, ὁ | clay |
| κατασκευάζω | I build |
| πῦρ - πυρός, τό | fire |
| οὐρανός - οῦ, ὁ | heaven |
| κλέπτω (aor. ἔκλεψα) | I steal |
| θήκη - ης, ἡ | box |
| ἀνοίγω (aor. ἀνέῳξα) | I open |
| διὰ τοῦτο | on account of this |
| πάσχω (aor. ἔπαθον) | I suffer |

[Total for Question 2: 20]

Sourced from SATs-Papers.co.uk • https://www.SATs-Papers.co.uk

οἱ δὲ Μυτιληναῖοι πολὺν χρόνον σύμμαχοι ἦσαν τῶν Ἀθηναίων. οὐ μέντοι ἤθελον ἀεὶ παρέχειν ναῦς καὶ χρήματα αὐτοῖς. ἐθέλοντες οὖν λείπειν τὴν συμμαχίαν παρεσκεύασαν πάντα εἰς μάχην. ἀκούοντες τὰ ἐν ταῖς Ἀθήναις ἀγγελθέντα, οἱ πολῖται ἔπεμψαν μεγάλην στρατιὰν πολλὰ ὅπλα ἔχουσαν. εὐθὺς ἔπλευσαν καὶ τὴν πόλιν ἔλαβον. ἐπεὶ οἱ Ἀθηναῖοι ἐκάλεσαν τὴν ἐκκλησίαν, ὁ Κλέων, ἡγεμὼν τοῦ δήμου ὤν, πρῶτος ἔλεξεν· "δεῖ ἡμᾶς ἀποκτείναντας πάντας τοὺς ἄνδρας ἀνδραποδίζειν τάς τε γυναῖκας καὶ τοὺς παῖδας. ταῦτα γὰρ ἰδοῦσαι αἱ ἄλλαι πόλεις οὐδέποτε ποιήσουσι τὰ αὐτά." ἔπειτα δὲ ὁ Διόδοτος εἶπεν· "ὦ πολῖται, οὐκ οἷοί τ' ἐσμεν πείθεσθαι τῷ Κλέωνι. εἰ γὰρ τοὺς Μυτιληναίους βλάπτομεν, ἆρα πιστεύετε τοῖς ἡμετέροις συμμάχοις μένειν μεθ' ἡμῶν;" ἀλλὰ οἱ Ἀθηναῖοι ἔπεμψαν στρατηγοὺς κατὰ θάλασσαν ὡς πράξοντας τοὺς τοῦ Κλέωνος λόγους. τῇ δ' ὑστεραίᾳ μεταγιγνώσκοντες ἐκέλευσαν ἄλλο πλοῖον διώκειν τὸ πρῶτον. καὶ τοὺς ναύτας πολλοῖς χρήμασιν ἔπεισαν θᾶσσον πλεῖν. εὐτυχῶς δὲ κατέλαβον τὸ πλοῖον· οἱ οὖν Μυτιληναῖοι δεινὰ οὐκ ἔπαθον.

**Names** (only the first instance of a word is underlined)

| | |
|---|---|
| Μυτιληναῖοι - ων, οἱ | the Mytileneans, people of Mytilene |
| Κλέων - ωνος, ὁ | Cleon |
| Διόδοτος - ου, ὁ | Diodotus |

**Vocabulary** (only the first instance of a word is underlined)

| | |
|---|---|
| παρέχω | I provide |
| καλέω (aor. ἐκάλεσα) | I call |
| ἐκκλησία -ας, ἡ | the assembly |
| δεῖ (+ acc + infinitive) | it is necessary for x to y |
| ἀνδραποδίζω | I enslave |
| πείθομαι (+ dat) | I obey |
| ὡς πράξοντας | 'in order to carry out' |
| τῇ ὑστεραίᾳ | on the next day |
| μεταγιγνώσκω | I change my mind |
| θᾶσσον | quicker, more quickly |
| εὐτυχῶς | fortunately |

Sourced from SATs-Papers.co.uk • https://www.SATs-Papers.co.uk

Sourced from SATs-Papers.co.uk • https://www.SATs-Papers.co.uk